χειρὸς πάντων τῶν ἐχθρῶν αὐτοῦ, καὶ ἐκ χειρὸς Σαοὺλ. καὶ εἶπεν. Ψ. ιζ'.

Ἀγαπήσω σε κύριε ἡ ἰσχύς μου, κύριος στερέωμά μου, καὶ καταφυγή μου, καὶ ῥύστης μου.

Ὁ θεός μου βοηθός μου, καὶ ἐλπιῶ ἐπ' αὐτόν.

Ὑπερασπιστής μου καὶ κέρας σωτηρίας μου, καὶ ἀντιλήπτωρ μου.

Αἰνῶν ἐπικαλέσομαι τὸν κύριον, καὶ ἐκ τῶν ἐχθρῶν μου σωθήσομαι.

Περιέσχον με ὠδῖνες θανάτου, καὶ χείμαρροι ἀνομίας ἐξετάραξάν με.

Ὠδῖνες ᾅδου περιεκύκλωσάν με, προέφθασάν με παγίδες θανάτου.

Καὶ ἐν τῷ θλίβεσθαί με ἐπεκαλεσάμην τὸν κύριον, καὶ πρὸς τὸν θεόν μου ἐκέκραξα.

Ἤκουσεν ἐκ ναοῦ ἁγίου αὐτοῦ φωνῆς μου, καὶ ἡ κραυγή μου ἐνώπιον αὐτοῦ εἰσελεύσεται εἰς τὰ ὦτα αὐτοῦ.

Καὶ ἐσαλεύθη καὶ ἔντρομος ἐγενήθη ἡ γῆ, καὶ τὰ θεμέλια τῶν ὀρέων ἐταράχθησαν καὶ ἐσαλεύθησαν, ὅτι ὠργίσθη αὐτοῖς ὁ θεός.

Ἀνέβη